ἄλλως τε λαύρως δίς τε τρίς τε τὴν φλέβα
τέμνων τις ἐν νόσοισι τοιαῖσδ᾽, ὡς ἔθος,
ἰσόῤῥοπ᾽ ὄντως αἵματος λαύρῳ ῥόῳ
δράσει, χαλῶν μὲν καὶ βραδύνων τὸν τρόχον
χυμοῦ κακοῦντος καὶ ῥοωδῶν ἀθρόων
δεινὴν διὰ ξύμπτωσιν ἀγγείων ὅλως
ὁρμωμένην τῶνδ᾽ ἐκ κενώσεως σάφα,
καθὰ πρόδηλον συστολῆς σφυγμῶν ὕπο,
κἀνθένδε πέψεις ἐκκρίσεις τ᾽ ἀποτρέπων·
νόσου δὲ μῆκος ἐξ ἀπεψίας φέρων,
χυμῶν δ᾽ ἔτι στάσεις τε κἄλλα τοιάδε,
τῆς τῶνδ᾽ ὅσ᾽ ἐκβλύζουσιν δυσκινησίας,
κάμνοντα βλάψει κοὐκ ὀνήσει τῷδ᾽ ἄκει.

ς. Οὐ τοὐξόπισθεν πρὸς τὸ φλεγμῆναν ῥέον
ὁρμῇ τε χωροῦν αἷμ᾽ ἀνασπῶν ἐν νόσοις
ταῖσδ᾽ ἄν τις ὠφέλησε τῇδ᾽ ἀφαιρέσει,
χυμὸν δὲ μᾶλλον ἐκμοχλεύων τῷδ᾽ ἅμα
ἕδρας ἑαυτοῦ τὸν πρὶν ἐσφηνωμένον
δριμύν τ᾽ ἐς ἄκρον, τόνδε συμφύρων θ᾽ ὅλον
ξύμπασι χυμοῖς τοῖσιν εὖ κεκραμμένοις,
τοὺσδ᾽ ἀθρόους ἔθηκε μακρῷ δριμέας,
φυρμῷ μιάνας τῷδ᾽ ἄγαν ὀλεθρίῳ·
δυσκρασίαν αὔξων δὲ τήνδ᾽ ἐπὶ πλέον,
καὶ δὴ παρορμῶν κἀρεθίζων τῇδ᾽ ἅλις
ἀρτηριῶν σφύξιν τε κἀυτῆς καρδίας,
κἀκ τῆσδε χυμῶν ξυνταχύνων τὸν τρόχον